12 θαι· Τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι᾽ ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες, καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα; ¶ Παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. ¶ Τὸ δὲ καὶ, εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν συνεργεῖν, διὰ μαντικῆς τοῖς πυνθανομένοις φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας ᾗ ἂν ἄριστα γίγνοιντο; ¶ Σοὶ δ᾽, ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴγε μηδὲ ἐπερωτώμενοι ὑπό σου προσημαίνουσί σοι, ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή.

13 ¶ Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ, ὦ Εὐθύδημε, γνώσῃ, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ᾽ ἐξαρκῇ σοι, τὰ ἔργα αὐτῶν ὁρῶντι, σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δὲ, ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι ἡμῖν

§. 12. εἰ ἀδυν.] Reiskii coniecturam ᾗ, ab Ernesto et Schützio ob seq. ταύτῃ comprobatam, repudio vt inutilem. Nam εἰ hic sign. διότι seu ἐπεὶ, vt saepe, vid. Ind. Cyrop. Sic quoque Cyrop. VIII, 2, 21 τῇδε et ὅτι sibi respondent.

ὑπὲρ τ. μ.] Valkenarii coniecturam περὶ τ. μ. inutilem esse, ostendit vsus loquendi Xenophonteus, vid. Ind. Cyrop.

ταύτῃ] Sic Brodaeus et Stephanus. In edd. vett. est ταύτην, sed ταῦτα h. e. διὰ ταῦτα in marg Steph. est elegantissimum. vid. Ind. Cyrop.

γίγνοιντο] Sic in libris omnibus est, si recesseris ab ed. Ern. vbi γίγνοιτο est. Cf. ad Cyrop. VII, 1, 2.

εἴγε] Ernestus primum e coniectura tum e MS. I recepit οἵγε, quia de hac re non videatur dubitanter locutus esse. Sed εἴγε, h. e. *quia, quandoquidem*, saepe in re certa adhiberi, docent Indices Xenoph. Nec dubium est, quin οἵγε sit glossema τῷ εἴγε.

§. 13. ὅτι δέ γε α. λ.] Ante ista mihi quidem nonnulla videntur excidisse. *Valken.* Bessario lectionem vulgatam interpretatur, *Quod igitur Dii sint, hominumque habeant curam, tu quoque, o Euthydeme, cognosces.* Omnia integra esse arbitror. Referuntur autem ad illa, quae Socrates vltimo loco dixerat, *Deos consulere hominibus.*

καὶ σὺ] *Tu met ipse*, non tantum ego, vt dixisti. Sensus igitur requirit verba ὦ Εὐθύδημε, quae Brodaeus commendauit et interpretatus est Bessario.

ἕως ἂν τὰς μορφὰς] Quod non fieri potest. Lactantius de Ira XI, 13, *Apud Xenophontem Socrates disputans ait, formam Dei non oportere conquiri.* Cf. Cic. N.D. I, 12.

τὰ ἔργα αὐτῶν] Epist. ad Rom. I, 12.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/276 gefördert von der Deutschen Forschungsgemeinschaft DFG